59 σφόδρα, καὶ ἀπεστράφη ὀνειδισμὸς ἐθνῶν. [59]καὶ ἔστησεν Ιουδας
καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ ἐκκλησία Ισραηλ ἵνα ἄγωνται
αἱ ἡμέραι τοῦ ἐγκαινισμοῦ τοῦ θυσιαστηρίου ἐν τοῖς καιροῖς αὐτῶν
ἐνιαυτὸν κατ' ἐνιαυτὸν ἡμέρας ὀκτὼ ἀπὸ τῆς πέμπτης καὶ εἰκάδος
60 τοῦ μηνὸς Χασελευ μετ' εὐφροσύνης καὶ χαρᾶς. [60]καὶ ᾠκοδόμησαν
ἐν τῷ καιρῷ ἐκείνῳ τὸ ὄρος Σιων κυκλόθεν τείχη ὑψηλὰ καὶ
πύργους ὀχυρούς, μήποτε παραγενηθέντα τὰ ἔθνη καταπατήσωσιν
61 αὐτά, ὡς ἐποίησαν τὸ πρότερον. [61]καὶ ἀπέταξεν ἐκεῖ δύναμιν τη-
ρεῖν αὐτὸ καὶ ὠχύρωσεν αὐτὸ τηρεῖν τὴν Βαιθσουραν τοῦ ἔχειν
τὸν λαὸν ὀχύρωμα κατὰ πρόσωπον τῆς Ιδουμαίας.

5 [1]Καὶ ἐγένετο ὅτε ἤκουσαν τὰ ἔθνη κυκλόθεν ὅτι ᾠκοδομήθη τὸ
θυσιαστήριον καὶ ἐνεκαινίσθη τὸ ἁγίασμα ὡς τὸ πρότερον, καὶ
2 ὠργίσθησαν σφόδρα [2]καὶ ἐβουλεύσαντο τοῦ ἆραι τὸ γένος Ιακωβ
τοὺς ὄντας ἐν μέσῳ αὐτῶν καὶ ἤρξαντο τοῦ θανατοῦν ἐν τῷ λαῷ
3 καὶ ἐξαίρειν. [3]καὶ ἐπολέμει Ιουδας πρὸς τοὺς υἱοὺς Ησαυ ἐν τῇ
Ιδουμαίᾳ, τὴν Ακραβαττήνην, ὅτι περιεκάθηντο τὸν Ισραηλ, καὶ
ἐπάταξεν αὐτοὺς πληγὴν μεγάλην καὶ συνέστειλεν αὐτοὺς καὶ ἔλα-
4 βεν τὰ σκῦλα αὐτῶν. [4]καὶ ἐμνήσθη τῆς κακίας υἱῶν Βαιαν, οἳ
ἦσαν τῷ λαῷ εἰς παγίδα καὶ σκάνδαλον ἐν τῷ ἐνεδρεύειν αὐτοὺς
5 ἐν ταῖς ὁδοῖς· [5]καὶ συνεκλείσθησαν ὑπ' αὐτοῦ εἰς τοὺς πύργους,
καὶ παρενέβαλεν ἐπ' αὐτοὺς καὶ ἀνεθεμάτισεν αὐτοὺς καὶ ἐνεπύρισε
6 τοὺς πύργους αὐτῆς ἐν πυρὶ σὺν πᾶσιν τοῖς ἐνοῦσιν. [6]καὶ διεπέ-
ρασεν ἐπὶ τοὺς υἱοὺς Αμμων καὶ εὗρεν χεῖρα κραταιὰν καὶ λαὸν
7 πολὺν καὶ Τιμόθεον ἡγούμενον αὐτῶν· [7]καὶ συνῆψεν πρὸς αὐτοὺς
πολέμους πολλούς, καὶ συνετρίβησαν πρὸ προσώπου αὐτοῦ, καὶ
8 ἐπάταξεν αὐτούς. [8]καὶ προκατελάβετο τὴν Ιαζηρ καὶ τὰς θυγατέρας
αὐτῆς καὶ ἀνέστρεψεν εἰς τὴν Ιουδαίαν.

9 [9]Καὶ ἐπισυνήχθησαν τὰ ἔθνη τὰ ἐν τῇ Γαλααδ ἐπὶ τὸν Ισραηλ
τοὺς ὄντας ἐπὶ τοῖς ὁρίοις αὐτῶν τοῦ ἐξᾶραι αὐτούς, καὶ ἔφυγον
10 εἰς Δαθεμα τὸ ὀχύρωμα [10]καὶ ἀπέστειλαν γράμματα πρὸς Ιουδαν

4 58 ονειδισμος] -δος A || 59 η et αι et του 1° > A | ενιαυτον 1°] -του S*† || 60 οχυρους] ισχ. A: cf. 5 46 6 57; υψηλους S*† | μηποτε] pr. και S† | καταπατησωσιν] -σουσιν SV† | αυτα] -το Sc† || 61 απεταξεν] -ξαν A | αυτο bis] 1° -τα S*V†, 2° -του S*† | ωχυρωσεν] -σαν A | βαιθσουραν (uel βεθσ.; S† hoc loco βαθσ.): hoc nomen flectitur -σουρων, -σουροις, -σουραν (cf. Thack. § 11, 10); pro -σουραν praebent -σουρα SA in 4 61 6 31, S in 6 26, A in 6 7 (cf. etiam 11 65), quod mutaui

5 1 και εγεν. οτε] τοτε S*† | ω(uel οι)κοδομηθη το] -μητο S*† | ωργισθησαν] -θη A† || 2 εν μεσω / αυτων] tr. S† || 3 ιδουμαια] ιουδαια A†: cf. 4 15 | ακραβαττηνην] α pro η 1° Sc | επαταξεν] -ξαν S† || 4 σκανδαλον SVLa†] pr. εις rel. || 5 συνεκλεισθ.] διεκλ. A | υπ αυτους AV† | παρενεβ.] εν > A† | ενουσιν] ενοικουσιν Sc || 6 πολυν] + και χειρα ισχυραν (sic) SV*L* || 8 προκατελαβετο] το > A†: cf. 6 27 | ιαζην A† | ανεστρεψεν] -ψαν S† || 9 τα 1°] pr. εις S† | γαλααδ] -διτιδι pau., -διν A*†, -διτι Ac†: cf. 25